φίλων. τοὺς πρὸς τὸ φαυλότατον χαριζομένους,
οὐχ ἕξεις ἐν τῷ βίῳ, τοὺς πρὸς τὸ βέλτιστον ἀπε-
χθανομένους. γίνου πρὸς τοὺς πλησιάζοντας ὁ
μειλίχιος, ἀλλὰ μὴ σεμνός. τοῦ γὰρ ὑπερόπτι- γρ. τοῦ μὲν γὰρ τῶν ὑπερόπτων ὄγκου,
κοῦ ὄγκου, μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν. τοῦ δὲ
τῶν μειλιχίων τρόπων, ἅπαντες ἡδέως ἀνα-
φέρουσιν. ὁ μειλίχιος δὲ ἔσῃ, μὴ δύσερις ὤν, τὰς
μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντας φιλόνεικος, πάντας
μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς ταχέως
ἀπαντῶν. μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν.
ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς, εἴκων, πεπαυμένοις
δὲ τῆς ὀργῆς, ἐπιπλήττων. μηδὲ παρὰ τὰ γελοῖα
σπουδάζων. μηδὲ παρὰ τὰ σπουδαῖα, τοῖς γελοίοις
γρ. χρώμενος χαίρων. τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν. μὴ
δὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πά-
σχουσιν οἱ πολλοί, ποιοῦντες μὲν, ἀηδῶς δὲ τοῖς
φίλοις ὑπουργοῦντες. μηδὲ φιλαίτιος ὤν.
βαρὺ γάρ. μηδὲ φιλεπιτιμητής. παροξυν-
τικὸν γάρ. μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς
πότοις συνουσίας. ἂν δέ ποτέ σοι συμπέσῃ και-
ρός, ἐξανίστασο πρὸ τῆς μέθης. ὅταν γὰρ ὁ νοῦς
ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμα-
σι τοῖς τοὺς ἡνιόχους ἀποβαλοῦσιν. ἐκεῖνά τε γὰρ
ἀτάκτως φέρεται, διαμαρτόντα τῶν εὐθυνόντων,
ἥ τε ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης τῆς
διανοίας. ἀθάνατα μὲν φρόνει, τῷ μεγαλό-